## 42.

# *ΠΕΡΙ ΕΙΜΑΡΜΕΝΗΣ

(Plan. 37)

Τὰ περὶ τῆς εἱμαρμένης δοκοῦνθ' ἡμῖν ὡς οἷόν τε σαφῶς καὶ συντόμως πειράσομαι ἐπιστεῖλαί σοι, φίλτατε C
Πείσων, ἐπειδὴ σὺ τοῦτ' ἠξίωσας οὐκ ἀγνοῶν ἣν ἔχω πρὸς τὸ γράφειν εὐλάβειαν.

**1.** Πρῶτον τοίνυν ἴσθι, ὅτι εἱμαρμένη διχῶς καὶ λέγεται καὶ νοεῖται· ἡ μὲν γάρ ἐστιν ἐνέργεια ἡ δ' οὐσία. πρῶτον μὲν οὖν ἐνέργειαν τύπῳ ὑπέγραψεν ὁ Πλάτων ἔν τε τῷ Φαίδρῳ (248 c) λέγων 'θεσμός τε Ἀδραστείας ὅδε, ἥτις ἂν ⟨ψυχὴ⟩ θεῷ ξυνοπαδὸς γενομένη . . .' ἔν τε τῷ Τιμαίῳ (41 e) 'νόμους' οὓς ἐπὶ τῇ τοῦ παντὸς φύσει ὁ θεὸς εἶπε ταῖς ἀθανάτοις ψυχαῖς· ἐν δὲ τῇ Πολιτείᾳ (617 d) 'Ἀνάγκης θυγατρὸς κόρης Λαχέσεως λόγον' φησὶν εἶναι D
τὴν εἱμαρμένην, οὐ τραγικῶς ἀλλὰ θεολογικῶς τὸ ἀρέσκον αὑτῷ ἀποφαινόμενος. εἰ δὲ κοινότερον ἐθέλοι τις ταῦτα μεταλαβὼν ὑπογράψαι, ὡς μὲν ἐν Φαίδρῳ, λέγοιτ' ἂν ἡ εἱμαρμένη λόγος θεῖος ἀπαράβατος δι' αἰτίαν ἀνεμπόδιστον, ὡς δ' ἐν τῷ Τιμαίῳ, νόμος ἀκόλουθος τῇ τοῦ παντὸς φύσει,